8. Τῇ δὲ ὀγδόῃ ἡμέρᾳ ἀπολουσαμένη λέγει πρὸς τὸν μακάριον[1] Γαλακτίωνα ἡ ἁγία Ἐπιστήμη[2]· « Οἶδας, κύριέ μου[3], τί κατ' ὄναρ ὁρῶ, ἀφ' οὗ[4] τὸ ἅγιον βάπτισμα εἴληφα; » Λέγει αὐτῇ ἐκεῖνος· « Εἰπέ, κυρία μου, τί ὁρᾷς; » Λέγει αὐτῷ· « Ὁρῶ παλάτιον πάνυ κεκοσμημένον[5] καὶ ἐν αὐτῷ τρεῖς χοροὺς[6] ψάλλοντας· καὶ[7] ὁ μὲν εἷς χορὸς[8] ἔχει[9] ἄνδρας μελανοφόρους[10]· ὁ δὲ ἕτερος παρθένους πάνυ[11] εὐειδεῖς[12]· ὁ δὲ τρίτος ἀνθρώπους[13] πτερωτοὺς καὶ πυριμόρφους[14]. » Λέγει αὐτῇ ὁ μακάριος[15] Γαλακτίων· « Ὄντως, κυρία[16], μακάριοι[17], εἰ γεγόναμεν καὶ ἡμεῖς[18] τοιοῦτοι. » Λέγει αὐτῷ[19] ἡ[20] Ἐπιστήμη· « Καί εἰσι, κύριε, τοιοῦτοι ἐν τῷ κόσμῳ[21]; » Λέγει[22] αὐτῇ ὁ μακάριος[23] Γαλακτίων[24]· « Ναί, κυρία μου, εἰσίν· οὗτοι γάρ[25], οὓς D βλέπεις ἐν τῷ χορῷ τῷ ἑνὶ μελανοφοροῦντας[26], κατέλιπον τὸν κόσμον καὶ τὸν πλοῦτον καὶ τὰς ἑαυτῶν συζύγους καὶ ἠκολούθησαν τῷ Χριστῷ. Αἱ δὲ[27] γυναῖκες αἱ τοῦ ἑτέρου χοροστασίου εἰσὶν αἱ ἀφείσασαι[28] τὸν κόσμον, ἔτι δὲ καὶ τοὺς ἑαυτῶν συζύγους[29] καὶ ἀκολουθήσασαι τῷ Χριστῷ. Οἱ δὲ[30] πτερωτοί εἰσιν ἄγγελοι[31], μεθ' ὧν ἀγαλλώμενοι χορεύουσιν. » Λέγει αὐτῷ ἡ μακαρία[32] Ἐπιστήμη· « Καὶ εἰ τοῦτο ποιήσομεν[33], κύριε[34], καὶ ἐξ ἀλλήλων χωρισθῶμεν, δυνησόμεθα πάντοτε[35] ἀγαλλιᾶσθαι μετ' ἀλλήλων; » Λέγει αὐτῇ ὁ μακάριος[36] Γαλακτίων· « Δός μοι[37] τῇ ὥρᾳ ταύτῃ συνθήκας, κυρία[38], ὅτι ἀκολουθεῖς[39] μοι, καὶ οὐ χωρισθήσομαί σου[40] οὔτε ἐν τῷ νῦν αἰῶνι τούτῳ[41] οὔτε ἐν τῷ μέλλοντι, τοῦ κυρίου μου Ἰησοῦ Χριστοῦ ποιοῦντος τὸ θέλημα τῶν φοβουμένων αὐτόν. » Ἡ δὲ μακαρία[42] Ἐπιστήμη[42] ὤμοσεν αὐτῷ[43] κατὰ τοῦ κυρίου[44] Ἰησοῦ Χριστοῦ ὅτι « ἀκολουθήσω σοι, ὅπου ἂν πορεύσῃ[45]. Ἡ γὰρ θεωρία[46] σου, E φησί[47], παραμυθίαν ἀπαθείας μοι παρέχει. » Τότε ὁ μακάριος[48] Γαλακτίων ἔφη πρὸς αὐτήν· « Εὐχαριστήσωμεν, κυρία, τῷ Θεῷ ἡμῶν[49], ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐν ἡμῖν, καὶ[50] ἐν ἡμέρᾳ περισπασμοῦ καὶ[51] πειρασμοῦ[52] ἡ συμφωνία ἡμῶν σταθήσεται. »

*et Galaction*

*bona sua pauperibus distribuunt*

9. Τούτων τοίνυν[1] οὕτως λεχθέντων[2], λέγει ὁ ἅγιος Γαλακτίων τῇ μακαρίᾳ[3] Ἐπιστήμῃ· « Ἰδοὺ ἐγὼ[4] πορεύομαι ἐν τῷ οἴκῳ μου· καὶ σὺ εὐτρεπίσθητι ἀποβαλομένη[5] πάντα καὶ διαδοῦσα[6] πτωχοῖς, κἀγὼ[7] ἔσομαι τὰ ὅμοια πράττων, καὶ τῇ τρίτῃ ἡμέρᾳ[8] ἑνωθέντες πορευσώμεθα[9] ἀμφότεροι, λαβόντες μεθ' ἡμῶν καὶ τὸν Εὐτόλμιον. Ἦν γὰρ κατηχήσας καὶ βαπτίσας με ὁ κύριος μου[10] Γαλακτίων καὶ βεβαιωσάμενός με, ἵνα μετ' αὐτοῦ γένωμαι μοναχός· καὶ ὁ μὲν[11] κύριός μου[12] Γαλακτίων τῇ ἐπιούσῃ νυκτὶ δέδωκεν[13] πάντα τὰ ὑπάρχοντα αὐτῷ πτωχοῖς, ὁμοίως δὲ καὶ ἡ[14] κυρία μου[15] Ἐπιστήμη ζώνας δύο, ὁρμίσκον ἕνα, ἐνώτια τέσ-

C

7. — [1] *om.* B1. 2. 4. — [2] διηγήσατο A2, B3. — [3] (καὶ ὁ) ὁ δὲ B1. — [4] εἶπεν A2. — [5] παιδίον B1. 3. 4, μοι παιδίον B2. — [6] *om.* B4, ἐστιν B1. 2. 3. — [7] *om.* B1. 2. 3. 4. — [8] (μηδ. - ἢ) τινὸς μὴ B1. 2. 3, μηδενὸς A2, B4. — [9] μου *add.* B2. — [10] (οὐκ - λέγει) σε οὐκ ἀσπάζομαι ἡ δὲ εἶπεν B1. 2. 3. 4. — [11] *om.* B2. 4. — [12] οὐκ οἶδα τίνος χάριν ἀλλ' εἰπέ μοι ὅτι B2. — [13] (π. τ.) *om.* B1. 3. 4. — [14] *om.* B1. 2. 3. 4. — [15] διὰ τί B4. — [16] χρ. οὐχ ὑπάρχεις B1. 2. 3. 4. — [17] καλέσω B1. 3. — [18] τότε σε ἀσπάζομαι καὶ καλέσω σε σύζυγόν μου ποθητὴ B2. — [19] ὁ B4. — [20] *om.* B1. 2. 3. — [21] ὅτι ὅτ' ἂν B4, δὲ *add.* B2. — [22] (βαπτισθήσομαι - μου) βαπτισθῆναι, βάπτισόν με B2, (μόνον - μου) *om.* B1. 3. 4. — [23] *om.* B1. 2. 3. 4. — [24] ἐκ τοῦ γ. τ. χ. ἐξέλιπεν B2. — [25] Ἐπιστήμη μου καὶ καλή μου σύζυγος ποίησον ὃ λέγω σοι *add.* B2. — [26] προσποίησον B1. 2. 3. 4. — [27] εἰς τὸν κῆπον B1. 2. 3. 4. [28] πρὸς σὲ *add.* A2. — [29] αὐτῆς B2. — [30] *om.* B1. 2. 3. 4. — [31] ἑνὶ B3. — [32] εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου B1. 2. 3. 4.

8. — [1] *om.* B1. 2. 3. 4. — [2] (ἡ ἁ. Ἐ.) *om.* B1. 2. 4, ἡ κυρία Ἐ. A2, B3. — [3] Γαλακτίων *add.* B2. — [4] ἀφῆς B1. 3, ἀφῇ B2. — [5] κατακεκοσμημένον B1. 2. — [6] χοροὺς τρεῖς B1. — [7] *om.* B1. 2. 3. 4. — [8] (εἷς χ.) χορὸς ὁ εἷς B1. 4, χορὸς B2. — [9] εἶχεν B3. — [10] μελανοφοροῦντας A2, B1. 2, μελανηφοροῦντας B3, μεγαλοφρονοῦντας B4. — [11] *om.* B1. 2. — [12] εὐγενεῖς B4. — [13] παρθένους B3. — [14] πυριφόρους B4. — [15] *om.* B1. 2. 3. 4. — [16] (ὄντως κ.) *om.* B1. 2. 4. — [17] μου καλῶς βλέπεις καὶ μακάριοι ἐσμὲν A2. — [18] μακάριοι εἶμεν εἰ καὶ ἡμεῖς γεγόναμεν B1. 2, μακ. ἡμεῖς εἰ γεγόναμεν B4. — [19] *om.* B1. 2. — [20] κυρία *add.* A2. — [21] εἰσιν ἐν τῷ κόσμῳ τοιοῦτοι B1. 2, εἰσὶν τοιαῦτοι ἐν. τ. κ. B4, εἰσὶν κύριέ μου τοιοῦτοι ἐν τ. κ. A2. — [22] οὖν *add.* B4. — [23] *om.* B1. 2. 4. — [24] (ὄντως - Γαλακτίων) *om.* B3. — [25] (εἰσὶν - γάρ) οὗτοι B1. 2. 3. 4. — [26] μελανηφοροῦντας B3. — [27] (αἱ δὲ) καὶ αἱ B1. 2. 3. 4. — [28] ἀφήσασαι A2, B1. 2. 3. 4. — [29] συνεύνους A2. — [30] πυρίμορφοι καὶ *add.* A2. — [31] ἄγγελοι Θεοῦ A2, οἱ ἄγγελοι B4, ἄγγελοί εἰσιν B1. 2. — [32] *om.* B1. 2. 3. 4. — [33] ποιήσω καὶ B3. — [34] *om.* B1. 2. 3. 4, μου *add.* A2. — [35] πάντες B4. — [36] *om.* B1. 2. 3. 4. — [37] ναὶ ἀληθῶς δός δέ μοι κυρία A2. — [38] *om.* A2, B1. 2. 3. 4. — [39] ἀκολουθήσεις A2. — [40] σοι B1. 2. — [41] *om.* A2, B1. 2. 4. — [42] *om.* B1. 2. 3. 4. — [43] αὐτὸν B1. 2. — [44] ἡμῶν *add.* B2. 4. — [45] ὅπου δ' ἂν A2, ὅπου ἐὰν πορεύῃ B1. 2. 3. 4. — [46] θεωρία γὰρ A2, B1. 2. 3. 4. — [47] *om.* B1. 2. 3. 4, φησιν A2. — [48] (παραμυθίαν - μακάριος) παραμυθία ἀπαθής μοι (μοι ἀπαθὴς B2) ὑπάρχει (παρέχει B3) ὁ δὲ B1. 2. 3, παραμυθία ὑπάρχει ὁ δὲ B4. — [49] (εὐχ. - ἡμῶν) εὐχαριστῶ τῷ Θεῷ μου B1. 2, εὐχαριστήσωμεν τῷ Θεῷ ἡμῶν B3, εὐχ. κ. τῷ ἀγαθῷ καὶ φιλανθρώπῳ ἡμῶν Θεῷ A2. — [50] ἐλεήσεν ἡμᾶς καὶ γὰρ καὶ A2. — [51] (περισπ. καὶ) *om.* A2, B1. 2. 3. — [52] (καὶ πειρ.) *om.* B4.

F

9. — [1] *om.* B1. 2. 3. 4. — [2] ἐχόντων B1. 2. 3. 4, καὶ συμφωνηθέντων τῶν μεταλλήλων *add.* A2. — [3] ἁγία B1. 2. 4. — [4] κυρία *add.* A2. — [5] ἀποβαλλομένη A1, B2. 3. 4. — [6] διδοῦσα B1. 2. — [7] οὖν *add.* B4. — [8] ἡμ. τρίτῃ B1, ἡμ. τῇ τρίτῃ A2, B2. 3. 4. — [9] οἱ *add.* B1. 4. — [10] ὁ ἐμὸς κύριος B1. 2. 3. 4. — [11] (καὶ - μὲν) ὁ δὲ ἐμὸς B1. 2. 3. 4. — [12] (κ. μου) *om.* B3. — [13] διέδωκεν B1. 2. 3. — [14] (πάντα - ἡ) ἐκ τοῦ ἰδίου πλούτου τάλαντα διακόσια (λίτρας διακόσιας B3) ἡ δὲ B1. 2. 3. 4. — [15] κ. μ. *om.* B3.

σαρα,

A σαρα, ψέλλια[16] περιδέραια[17] καὶ ἁπλῶς εἰπεῖν πάντα αὐτῆς τὸν στολισμὸν διένειμεν πένησιν[18]· καὶ τῇ νυκτὶ ἀπάραντες ἐπορεύθημεν καὶ διὰ δέκα ἡμερῶν[19] κατηντήσαμεν[20] εἰς τὸ ὄρος Πούπλιον[21].

*et in solitudinem recedunt.*

Ἦσαν δὲ ἐκεῖ[22] μοναχοὶ τὸν ἀριθμὸν δυοκαίδεκα, ἔχοντες ἀπὸ μήκοθεν αὐτῶν ἀδελφὰς πάνυ γραΐδας τέσσαρας οὕστινας[23] ἀνιχνεύσαντες εὕρομεν καὶ κρούσαντες[24] καὶ τὸν σκοπὸν ἡμῶν εἰρηκότες αὐτοῖς[25], ἐδέξαντο ἡμᾶς οἱ τίμιοι καὶ ἅγιοι[26] ἄνδρες ἐκεῖνοι μετὰ χαρᾶς[27] καὶ ἀπέκειραν ἡμᾶς, τὴν δὲ κυρίαν μου Ἐπιστήμην ἀπέστειλαν εἰς τὸ ἀσκητήριον τῶν ἁγίων γυναικῶν. Ἡ δὲ καταδεξαμένη ἀπῄει εὐχαριστοῦσα τῷ Θεῷ[28]· ἡμεῖς δὲ[29] κατελείφθημεν[30] εἰς τὸ τῶν μοναχῶν καταγώγιον.

*Galactionis virtutes.*

**10.** Τὰ δὲ τῆς ὑποταγῆς καὶ τῆς[1] ἀσκήσεως τοῦ κυρίου[2] μου[3] Γαλακτίωνος[4] πῶς ἐξείπω[5]; οὐκ αὐταρκεῖ[6] γάρ μου[7] ἡ γλῶσσα[8] ἢ τὰ χείλη διηγήσασθαι[9] τοὺς πόνους καὶ τοὺς[10] μόχθους οὕσπερ ἐνεδείξατο[11]· ἤσθιεν[12] γὰρ[13] ἐν δυσὶν ἔτεσιν[14]
B ἀπὸ σαββάτου[15] εἰς σαββάτον, ἠγρύπνει δὲ[16] τοσοῦτον[17], ὥστε ὁρᾶσθαι αὐτὸν ἐν εἴδει νεκροῦ, ἔψαλλέν[18] τε τὰς ἑωθινὰς αὐτοῦ καὶ νυκτερινὰς εὐχὰς[19] ἀδιαλείπτως, πρώτην, τρίτην, ἕκτην, ἐνάτην[20] καὶ τὰ ἑσπερινὰ αὐτοῦ· καὶ ποῖος ἂν ἐφίκοιτο λόγος τῶν τούτου ἀρετῶν καὶ[21] ἀγωνισμάτων, τοὺς πόνους αὐτοῦ τίς ἐξιχνιάσει[22], τοὺς μόχθους αὐτοῦ τίς ἐκμετρήσει[23], τοὺς ὀδυρμοὺς αὐτοῦ τίς συγγράψεται[24]; τοσοῦτον δὲ εἰς[25] ἁγνείας ἤλασεν[26] ἀρετήν, ὥστε μὴ ἰδεῖν χαρακτῆρα γυναικὸς[27] τὰ ἓξ ἔτη τῆς ἀσκήσεως αὐτοῦ· πολλάκις γὰρ οἱ ἅγιοι γέροντες ἐκεῖνοι[28] παρεκάλουν αὐτὸν λέγοντες[29]· « Ἐλθὲ[30] μεθ' ἡμῶν καὶ θέασαι τὴν κυρίαν τὴν διάκονον, ὅτι ἐνενηκοστὸν ἄγει ἔτος[31] ἐν τῷ σχήματι· ὡσαύτως δὲ ὁρᾷς καὶ τὴν ἀδελφὴν Ἐπιστήμην » καὶ[32] οὐκ ἠνείχετο[33] λέγων ὅτι « ἕως καιροῦ ἀναγκαίου οὐκ ὄψομαι[34] αὐτήν[35]. »

*Imminentis persecutionis*

**11.** Ἐγένετο δὲ κατὰ τοὺς καιροὺς ἐκείνους διωγμὸς μέγας κατὰ[1] τῶν χριστιανῶν καὶ πάντες ἠναγκάζοντο θύειν τοῖς δαίμοσιν. Ἀπελθὼν[2] δέ τις ἀπήγγειλε[3] τῷ ἄρχοντι Οὔρσῳ[4] τὰ περὶ τῶν ἐν Σινᾷ[5] ὄρει καθεζομένων μοναχῶν, ὅτι τὸν Χριστὸν ὁμολογοῦσι[6] καὶ τοὺς θεοὺς ἡμῶν βλασφημοῦσιν[7]· καὶ εὐθέως ἀπέστειλε[8] φάλαγγα[9] στρατιωτῶν πρὸς τὸ συλλαβεῖν πάντας[10] τοὺς ἐκεῖσε ὄντας μοναχοὺς καὶ ἐνέγκαι αὐτοὺς[11] εἰς[12] τὸ κριτήριον. *Passio prior*

*Episteme divinitus certior fit.*

Τῇ οὖν νυκτὶ ἐκείνῃ, ἐν ᾗ συλληφθῆναι ἔμελλον[13] οἱ ἅγιοι[14], ὁρᾷ ἡ μακαρία Ἐπιστήμη ὄναρ τοιοῦτον. Ἐδόκει γὰρ ἑστάναι ἐν τῷ[15] παλατίῳ μετὰ τοῦ ἀνδρὸς αὐτῆς Γαλακτίωνος καὶ μετ' αὐτοῦ στεφανοῦσθαι[16] ὑπὸ τοῦ βασιλέως· καὶ τῇ ἕωθεν ἀποστείλασα προσκαλεῖται[17] τὸν γέροντα, ὃς ἦν ἡγούμενος τοῦ κυρίου μου[18] Γαλακτίωνος· καὶ[19] ἐλθόντα[20], διηγεῖται[21] αὐτῷ[22] πάντα[23], ὅσα κατ' ὄναρ ἐθεάσατο, παρακαλοῦσα[24] αὐτὸν[25] δοῦναι αὐτῇ[26] καὶ τὴν λύσιν τῆς ὁράσεως. Ὁ δὲ[27] τίμιος καὶ ἅγιος γέρων ἐκεῖνος λέγει αὐτῇ· « Τέκνον, τὸ παλάτιόν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, οἱ δὲ[28] E
στέφανοι πόνων καὶ ἀγώνων[29] ἀμοιβαί. Ὁ δὲ[30] βασιλεύς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ[31], δι' ὃν πολλὰ ὑπομενεῖτε[32] σύ τε[33] καὶ ὁ κύρις[34] Γαλακτίων βασανιστήρια ὑπὸ τοῦ ἄρχοντος Οὔρσου. Μὴ οὖν λειποτακτήσῃς, τέκνον[35]· πολλὰ γάρ σε μένουσιν ἀγαθά[36]. » Ἡ δὲ τὸν χρησμὸν τοῦ ὀνείρατος δεξαμένη ηὐχαρίστησε τὸν Θεὸν τὸν δοτῆρα τῶν ἀγαθῶν[37].

*Primus capitur Galaction;*

**12.** Φθασάντων δὲ[1] τῶν στρατιωτῶν καὶ[2] ἐν ἐκείνῳ τῷ ὄρει, ἔνθα ἠσκοῦντο[3] οἱ δύο φωστῆρες οἱ μεγάλοι Γαλακτίων καὶ Ἐπιστήμη, εὗρον[4] τὸν κύριόν μου Γαλακτίωνα[5] ἀναγινώσκοντα τὰ τοῦ Θεοῦ μεγαλεῖα[6]. Οἱ γὰρ[7] λοιποὶ τῶν μοναχῶν ἔφυγον πάντες[8]. Κρατήσαντες δὲ τὸν ὅσιον Γαλακτίωνα μόνον[9], ἔσυρον[10] ἐπὶ τὸ κριτήριον. Ὁ δὲ ἠκολούθει ὡς πρόβατον ἐπὶ σφαγήν. Ἡ δὲ μακαρία Ἐπιστήμη ἐπάνω[11] τοῦ ὄρους ἦν[12] κρυπτομένη μετὰ καὶ ἑτέρων παρθένων· καὶ ὡς[13] ἤκουσεν, ὅτι

[16] ψελία A 2, B 4, (τ. ψ.) ζυγὰς τέσσαρας ψελία καὶ B 3. —
C [17] περιδέρραια A 1. — [18] καὶ ὀρφανοῖς *add.* A 2. — [19] (δ. δ. ἡμ.) *om.* B 1. 2. 3. — [20] μετὰ δέκα ἡμέρας *add.* B 1. 2. 3. — [21] Πουπλείῳ B 1, Πλείῳ B 2, Πόπλιον B 4. — [22] (ἦσαν - ἐκεῖ) κἀκεῖ ἦσαν B 1. 2. 3, κακοὶ ἦσαν B 4. — [23] ἐρευνήσαντες καὶ *add.* A 2. — [24] (εὕρομεν κ. κρούσαντες) ἐκρούσαμεν B 1. 2. 3. 4. — [25] *om.* B 1. 2. 3. 4, εἰρηκότων αὐτοὺς A 2. — [26] (τίμιοι καὶ ἅγ.) *om.* B 1. 2. 3. 4. — [27] (ἐκ. μ. χαρᾶς) *om.* B 1. 2. 3. 4. — [28] κυρίῳ B 1. 2. 4. — [29] *om.* B 2. — [30] ἀπήειμεν B 1. 2, ἀπίημεν B 4, ἄπιμεν B 3.

**10.** — [1] *om.* B 1. 3. 4. — [2] ἁγίου B 3. — [3] *om.* B 3. — [4] *om.* B 2. 4. — [5] ἀγαπητοὶ *add.* A 2. — [6] εὐταρκεῖ A 1, B 3, εὐταρακεῖ B 4, ἐπαρκεῖ A 2. — [7] μου γὰρ B 3. — [8] γλῶττα A 2. — [9] (γὰρ - διηγήσασθαι) μοι πλῆθος χαρτίων γράψαι τοὺς πόνους B 1. 4. — [10] *om.* B 1. 4. — [11] (οὕσπερ ἐνεδ.) αὐτοῦ B 1. 2. 4. — [12] ἔσθιεν B 2. — [13] γὰρ τοῖς B 3 (?). — [14] (ἐν δ. ἔ.) *om.* A 2. — [15] σάββατον B 1. 2. — [16] τε B 1. 2. — [17] (ἠγ. δὲ τοσοῦτον) *om.* B 4. — [18] ἔψαλεν B 2. — [19] ἑωθινὰς εὐχὰς καὶ νυκτερινὰς B 4. — [20] πρώτην τε (καὶ B 2) τρίτην καὶ ἕκτην καὶ ἐννάτην B 2. 4. — [21] (ἀρετῶν καὶ) *om.* B 1. 2. 3. 4. — [22] ἐξηχνιάσοι B 4. — [23] ἐκ μετρεῖ B 3. — [24] συγγράψηται B 4. — [25] *om.* A 2, B 2. 4. — [26] εἰς *add.* A 2. — [27] γυναίου B 1. 2. 3. 4. — [28] *om.* B 4, ἐκεῖνοι γέροντες A 2, B 1. 2. 3. — [29] (παρ. - λέγοντες) ἔλεγον αὐτῷ B 1. 2. — [30] ἄπελθε B 3. — [31] ἔτος ἄγει B 3. 4. — [32] ὁ δὲ A 2. — [33] ἠνέσχετο A 2, B 2, ἠνήχετο B 1. 3. 4, ὁ κύριός μου *add.* B 1. 2. 3. 4. — [34] οὐχ ὄψομαι B 4, οὐκόψομαι B 3. — [35] αὐτὰς B 1. 2. 3. 4.

**11.** — [1] *om.* B 1. 3. 4. — [2] ἐλθὼν B 1. 2. 4. — [3] ἀνήγγειλεν A 2, B 1. 3. 4. — [4] τὸν ἄρχοντα Οὖρσον B 1. — [5] τῷ *add.* A 2. — [6] ὁμολογοῦσιν A 2, B 1. 2. 3. — [7] δυσφημοῦσιν A 2, B 1. 2. 3. — [8] (καὶ εὐθ. ἀπ.) ἀπέστειλεν οὖν B 1. 2. 3, καὶ ἀπέστειλε B 4, καὶ ταῦτα ἀκούσας ὁ παράνομος ἄρχων εὐθέως ἀπέστειλεν A 2. — [9] φάλαγγας B 1. 2. 3. — [10] ἅπαντας A 2. — [11] *om.* B 1. 2. 3. 4. — [12] πρὸς B 1. 2. 3. 4. — [13] ἤμελλον B 1. 2. 3. 4. — [14] (οἱ ἅγιοι) *om.* A 2. — [15] *om.* B 3. — [16] καὶ στεφανοῦσθαι μετ' αὐτου B 1, καὶ στ. ὑπ' αὐτοῦ B 2, καὶ στεφ. B 3. — [17] (καὶ - προσκαλεῖται) ἀποσταλεῖσα δὲ ἕωθεν προσεκαλέσατο B 1. 2. 3, ἀποσταλεὶς οὖν ἕωθεν προσκ. B 4. — [18] (τοῦ - μου) τοῦ ἁγίου B 1. 2. 3. 4. — [19] ὁ δὲ A 2. — [20] *ila* A 1, ἐλθὼν A 2, *om.* B 1. 2. 3. 4. — [21] διηγήσατο B 1. 2. 3. — [22] αὐτὸν B 1. — [23] ὅσα B 3. — [24] παρακαλέσασα A 2, παρακαλέσας B 1. 2, παρεκάλεσα B 3. — [25] αὐτῷ B 3. 4. — [26] αὐτὴν A 2, B 3. — [27] ὄντως *add.* A 2. — [28] (τίμιος - δὲ) γέρων ἔφη (λέγει B 3) αὐτῇ τὸ παλάτιον τέκνον ἡ βασιλεία τῶν οὐρανῶν ἐστίν· οἱ B 1. 3. 4, γέρων ἔκλαυσε καὶ ἐστέναξε εἶτα λέγει αὐτῆς ὦ Ἐπιστήμη τὸ παλάτιον ἐστιν ἡ β. τ. οὐρ. καὶ B 2. — [29] καμάτων εἰσιν B 2, εἰσιν *add.* A 2, B 1. 3. 4. — [30] *om.* B 1. 3. 4, καὶ ὁ B 2. — [31] (ὁ - Θεοῦ) *om.* B 1. 2. 3. 4, τοῦ Ζῶντος *add.* A 2. — [32] ὑπομένετε B 1, ὑπομείνητε B 3. — [33] τέκνον B 3. — [34] κύριος B 2. — [35] *om.* B 1. 2. 3. 4. — [36] βάσανα B 3. — [37] τῷ Θεῷ τῷ δοτῆρι τ. ἀγ. A 2, τῷ Θεῷ B 1. 2. 3. 4. F

**12.** — [1] οὖν B 1. 2. 3. — [2] *bis scriptum* B 1. — [3] ἤσκουν καὶ A 2. — [4] εὕροσαν B 1. 2. 3, ηυρον B 4. — [5] (τὸν - Γαλακτίωνα) αὐτὸν B 1. 2. 3. — [6] (Θεοῦ μεγ.) θεῖα λόγια A 2, Θεοῦ λόγια B 1. 2. 3. — [7] δὲ B 3. — [8] *om.* B 1. 2. 3. 4. — [9] *om.* A 2, (τὸν - μόνον) μόνον τὸν Γαλακτίωνα B 1. 2. 4, μόνον τὸν ὅσιον Γ. B 3. — [10] αὐτὸν *add.* A 2. — [11] ἐπανωθεν A 2, B 1. 2. 3. — [12] *om.* B 1. 2. 3. — [13] (καὶ ὡς) *om.* B 1. 2. 3.

ὁ κύριος

PASSIO PRIOR

*quem Episteme*

ὁ κύριος αὐτῆς Γαλακτίων ἀπέρχεται[14] δεδεμένος ἐπὶ τὸν ἄρχοντα τοῦ τυφθῆναι[15], πεσοῦσα παρὰ[16] τοὺς πόδας τῆς διακόνου, λέγει[17] πρὸς αὐτήν· « Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποινά μου· ἰδοὺ γὰρ[18] ἀλγεῖ μου ἡ καρδία πάνυ[19], ὅτι τὸν κύριόν μου[20] Γαλακτίωνα ἦραν οἱ θεομάχοι πρὸς τὸν παράνομον καὶ[21] ἀσεβέστατον[22] ἄρχοντα. Καὶ ἰδοὺ πορεύομαι κἀγώ, ἵνα σὺν αὐτῷ τελειωθῶ[23]. » Λέγει[24] αὐτῇ ἡ διάκονος· « Μή, τέκνον μου Ἐπιστήμη, μὴ[25] ἀπέλθῃς, μήπως οὐχ ὑπομείνῃς τὰ βασανιστήρια καὶ ἀρνήσῃ τὸν Χριστόν, μολύνῃς δὲ καὶ τὴν παρθενίαν σου. » Λέγει ἡ ἁγία πρὸς τὴν διάκονον· « Μὴ γένοιτό μοι μεῖναι[26] ὄπισθεν τοῦ κυρίου μου Γαλακτίωνος ὥραν μίαν[27]· δι' αὐτοῦ γὰρ ἔγνων τὸν Χριστόν, Θεὸν ὄντα ἀληθινὸν[28] καὶ δημιουργὸν πάσης πνοῆς[29]· δι' αὐτὸν κατέλιπον πάντα, πλοῦτον, γονεῖς, κτήματα[30], καὶ πᾶσάν μου τὴν περιουσίαν, πολλὴν οὖσαν σφόδρα[31], ἵνα μὴ χωριστῶ αὐτοῦ μήτε ἐν τῷ νῦν αἰῶνι μήτε[32] ἐν τῷ μέλ-
B λοντι. » Λέγει αὐτῇ ἡ διάκονος· « Γένοιτό σοι, τέκνον, ἡ ὁδὸς ἐν πᾶσιν[33] εὐλογητή, καὶ τελέσεις[34] τὸν δρόμον τῆς ἀθλήσεώς σου[35] ὡς Θέκλα ἡ πρωτομάρτυς. » Τότε[36] ἀσπασαμένη[37] πάσας τὰς ἀδελφάς, δρομαία[38] ἔφθασεν ὄπισθεν τοῦ μακαρίου Γαλακτίωνος καί φησιν πρὸς αὐτόν· « Βραβευτὰ τῆς σωτηρίας μου[39], δι' οὗ Θεὸν ἀληθινὸν ἔγνων τὸν Χριστόν, μὴ ἐγκαταλίπῃς[40] με[41] τὴν ταπεινήν, ἀλλ'[42] αἴτησαι[43] τὸν Κύριον, ἵνα σύν σοι τελειωθῶ, καὶ ἀχώριστοι ἐσόμεθα ὡς[44] ἐν τῷ νῦν αἰῶνι[45] καὶ ἐν τῷ μέλλοντι[46]. »

*ultro sequitur,*

*donec ipsa corripitur;*

**13.** Στραφέντες δὲ[1] οἱ στρατιῶται καὶ θεασάμενοι αὐτήν, ἔδησαν καὶ αὐτὴν σὺν τῷ ἁγίῳ. Περιπατούντων δὲ αὐτῶν[2], ἐδίδασκεν αὐτὴν[3] ὁ[4] ἅγιος[4] Γαλακτίων[5] λέγων· « Κυρία μου καὶ ἀδελφή, μὴ φοβηθῇς τὰς τιμωρίας καὶ τὰς ἀπειλὰς τοῦ τυράννου· ἀλλὰ[6] μικρὸν ὑπομείνωμεν[7], ἵνα[8] στεφανωθῶμεν εἰς ὅλους αἰῶνας[9]. Βλέπε, κυρία[10], μή σε ἀπατήσωσιν[11] ἔν τινι τῶν ἡδέων τοῦ κόσμου τούτου· πάντα γὰρ ταῦτα πρόσκαιρα καὶ φθαρτά εἰσιν[12] καὶ παρέρχονται δίκην ὀνείρου. » Λέγει αὐτῷ ἡ μακαρία Ἐπιστήμη· « Κύριε[13], κατ' ἴχνος σου πορεύσομαι[14]· καὶ εἴ τι ὁρῶ σε πράττοντα, ποιήσω κἀγώ[15]. » Φθασάντων δὲ αὐτῶν πρὸς τὰ τοῦ ἄρχοντος προαύλια[16], ἦλθέ τις[17] τῶν ὑπερετῶν λέγων· « Τηρηθήτωσαν[18] εἰς τὴν αὔριον· τῇ δὲ ἐπαύριον προκαθίσας[19] ὁ ἀσεβέστατος[20] καὶ παράνομος[21] Οὖρσος[22] ἐκέλευσεν εἰσαχθῆναι τοὺς ἁγίους Γαλακτίωνα καὶ Ἐπιστήμην. Ὡς δὲ εἰσήχθησαν[23], λέγει αὐτοῖς[24] ὁ ἄρχων[25]· « Τίς ὑπάρχει ὁ μελανοφόρος[26] οὗτος καὶ αὕτη ἡ ὁμοία αὐτῷ[27]; » Λέγει ὁ ἅγιος[28]· « Μοναχοί ἐσμεν καὶ χριστιανοί. » Ὁ ἄρχων λέγει[29]· « Καὶ τίς ἐστιν ὁ Χριστός; » Ὁ ἅγιος λέγει[30]· « Ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν. » Ὁ ἄρχων λέγει[31]· « Καὶ οἱ θεοὶ τίνες εἰσίν; » Ὁ ἅγιος λέγει[32]· « Λίθοι καὶ ὕλη φθαρτή[33]. » Τότε χολέσας σφόδρα ὁ ἄρχων λέγει[34]· « Ἐκδύσατε[35] τοῦτον τὸν βλάσφημον[36] καὶ σφοδρῶς βουνευριζέσθω[37]. » Τυπτομένου δὲ τοῦ ἁγίου[38] ἐπὶ πολύ[39], ἔκλαιεν[40] μακαρία Ἐπι- E
στήμη[41] καὶ ἔλεγεν· « Ὦ ἀσπλαγχνία[42] τυράννου, ὢ[43] ἀπανθρωπία ἄρχοντος· ἄθλιε[44], πῶς οὐκ ἐλεεῖς τοιαῦτα ὡραῖα μέλη καταναλίσκων[45] ταῖς μάστιξι[46], φεῖσαι τοῦ νέου, ὦ μιαρὲ καὶ ἀκάθαρτε[47]. »

*trahuntur ambo*

*ad Ursum praesidem*

*qui, oratu Epistemes,*

**14.** Ταῦτα τοίνυν εἰποῦσα ἡ ἁγία[1], ὀργισθεὶς[2] ὁ ἄρχων σφόδρα[3] ἔφη· « Γυμνώσατε[4] τὴν μαίναδα ταύτην[5]· ὁρῶ γὰρ[6] αὐτῆς τὴν προαίρεσιν ἀναιδείας μεμεστωμένην ὑπάρχουσαν[7]. » Γυμνωθείσης δὲ αὐτῆς μέχρις ὀθόνης[8], λέγει[9] τῷ τυράννῳ· « Ἐπικατάρατε καὶ τρισάθλιε[10], ἐν τῷ ἁγίῳ μου[11] βαπτίσματι, ὃν ὁ Θεὸς ἐν ἁγνείᾳ μοι[12] συνέζευξεν ἄνδρα[13], τὴν γύμνωσίν μου οὐ τεθέαται καὶ σὺ[14] ἐπιτρέπεις γυμνήν με παραστῆναι[15] ἐνώπιόν σου καὶ παντὸς τοῦ λαοῦ[16] τυφλωθήτωσαν ὑμῶν οἱ ὀφθαλμοί, ἵνα μηδ' ὅλως[17] ἴδητε μου τὴν γύμνωσιν. » Καὶ ἅμα τῷ λόγῳ τῆς ἁγίας[18] ἐτυφλώθη ὁ ἄρχων εὐθὺς[19] καὶ οἱ σὺν αὐτῷ πάντες. Τότε[20] ἔκραξαν[21] λέγοντες· « Σῶσον ἡμᾶς, ἁγία δούλη τοῦ[22] Χριστοῦ, ἀπὸ τοῦ σκότους τούτου καὶ

*cum satellitibus obcaecatur*

C [14] ἀπάγεται B 1 (?). 2. 4. — [15] *corr. rec. prius* τυ|||||θῆναι A 1, τυθῆναι A 2, B 1. 3. 4, θῆναι B 2, καὶ *add.* B 1. 2. 3. — [16] πρὸς B 1. 2. 4. — [17] φησὶν B 1. 2. 3, φησὶ A 2, B 4. — [18] *om.* B 2. — [19] *om.* B 1.2. 3. 4. — [20] *om.* B 3. — [21] (παρ. καὶ) B 1. 2. 3. 4. — [22] ἀσεβέστατον καὶ παράνομον A 2. — [23] τελευτήσω B 1. 2. 4. — [24] οὖν *add.* B4. — [25] *om.* A 2. — [26] εἶναι B 3. — [27] (ὥραν μίαν) *om.* B 1. 2. 3. 4. — [28] ἀληθινὸν ὄντα B 2. — [29] (καὶ - πνοῆς) *om.* B2. 3. 4. — [30] *om.* B 1. 2. 3. 4. — [31] (πολλὴν οὖσαν σφ.) *om.* B 1. 2. 3. 4. — [32] οὔτε B 2 — [33] ἐν πάσῃ ἡ ὁδός σου B 3. — [34] τελέσοις B 1 — [35] σου τῆς ἀθλήσεως B 3. 4. — [36] *om.* B 1. 2. 3. — [37] οὖν *add.* B 1. 2. 3, γοῦν *add.* B 4. — [38] δρομέως B 1, δρομαίως B 4, δρομέα B 3. — [39] ἐμῆς σωτηρίας A 2. — [40] καταλείπῃς B 4. — [41] *om.* B 4. — [42] ἐμὲ B 1. 2. 3. 4. — [43] αἰτῆσαι B 3. — [44] καὶ B 3. — [45] (ἐν - αἰῶνι) *om.* B 1. 2. 4. — [46] αἰῶνι *add.* B 1. 2. 4.

**13.** — [1] οὖν B 4. — [2] κατὰ τὴν ὁδὸν A 2. — [3] *om.* B 2. — [4] *om.* B 4. — [5] *om.* B 1. 2. 3. 4. — [6] *om.* A 2, (κυρία - ἀλλὰ) *om.* B1. 2. 3. 4. — [7] οὖν ὑπομένομεν A 2. — [8] καὶ *add.* A 2. — [9] (εἰς - αἰῶνας) *om.* B 1. 2. 3. 4. — [10] γύναι B 1. 2. 3. 4. — [11] ἀπ. σε B1. 2. 4. — [12] εἰσὶν καὶ φθ. A 2. — [13] μου *add.* A 2, (τούτου - κύριε) λέγει αὐτῷ ἡ Ἐπιστήμη B 1. 2. 3. 4. — [14] κύριέ μου *add.* B 4. — [15] (ποιήσω κ.) καὶ ποιήσω B 1. 4, τοῦτο καὶ ποιήσω B 2. — [16] προσαύλια A 1, προπύλαια B 4, προάβλια B 2. — [17] ἦλθεν εἷς A 2. — [18] γοῦν *add.* B 4 — [19] καθήσας B 3. — [20] ἀσεβὴς B 1. 2. 3, A 2. — [21] (καὶ π.) *om.* B 1. 2. 3. 4. — [22] ἐπὶ τοῦ βήματος *add.* A 2. — [23] ἁγίους· ἤχθησαν οὖν οἱ ἅγιοι Γαλακτίων καὶ Ἐπιστήμη καὶ B 4. — [24] (ἐκέλευσεν - αὐτοῖς) ἤχθησαν (εἰσήχθησαν B 3) οἱ ἅγιοι Γαλακτίων καὶ Ἐπιστήμη καὶ λέγει B1.2.3. — [25] ὁ ἄρχων λέγει A 2. — [26] μελανὸς B1. 2. 3. 4. — F
[27] αὐτοῦ B 3, (καὶ - αὐτῷ) *om.* B4, (τίς - αὐτῷ) τίς ἐστιν οὗτος ὁ μελανοφόρος καὶ αὕτη ἡ ὁμ. αὐτου A 2. — [28] ὁ ἅγιος Γαλακτίων εἶπεν A 2. — [29] λέγει ὁ ἄρχων B 1. 2. 4. — [30] λέγει ὁ ἅγιος B 1. 2. 3. 4, ὁ ἅγιος Γαλακτίων εἶπεν A 2. — [31] (καὶ - λέγει) λέγει Οὖρσος B 1. 2, λ. ὁ Οὖρσος B 4, ὁ ἄρχων λέγει B 3. — [32] εἶπεν B 1. 2. 3. 4, Γαλακτίων εἶπεν A 2. — [33] φθαρτικοὶ B 2, φθαρτικὴ B 3, λίθη (*sic*) καὶ ξύλα καὶ ὕλη φθαρτική B4. — [34] τότε λέγει ὁ ἡγεμὼν B 1. 2. 4. — [35] τοῖς ὑπηρέταις ἐκδύσατε ἐν τάχει A 2. — [36] καὶ ὑβριστὴν *add.* A 2. — [37] βουνεύροις τύψατε αὐτὸν B 2. — [38] μακαρίου B 3, Γαλακτίωνος *add.* A 2. — [39] (ἐπὶ π.) *om.* B 1. 2. 3. 4. — [40] ἁγία καὶ *add.* B 4. — [41] *om.* B 1. 2. 3. — [42] τοῦ *add.* B 3. — [43] καὶ B 1. 2. — [44] *om.* B 1. 2. 3. 4, καὶ ταλαίπωρε *add.* A 2. — [45] καταναλίσκειν B 1. 2. 4. — [46] μάστιξιν B 1. 2. 3. 4. — [47] ἀπάνθρωπε B 2, (καὶ ἀκ.) *om.* B 1. 3. 4.

**14.** — [1] (ταῦτα - ἁγία) *om.* A 2, B 1. 2. 3. 4. — [2] δὲ *add.* A 2, B 1. 2. 3. 4. — [3] *om.* B 1. 2. 3. 4, ἐπὶ τοῖς ῥήμασιν τῆς ἁγίας *add.* A 2. — [4] καὶ *add.* A 2. — [5] αὐτὴν τὴν μαινάδα B 4. — [6] καὶ *add.* A 2. — [7] *om.* A 2, B 1. 3, (αὐτῆς - ὑπάρχουσαν) τὴν προαίρεσιν αὐτῆς διασμεμεστωμένην (*sic*) B4. — [8] ὀθονίου B 3, ἐν τάχει μέχρις ὀ. A 2, μέχρι ὀ. B 4. — [9] ἡ ἁγία *add.* B 2. 3. 4. — [10] τύραννε *add.* A 2, (καὶ τρισ.) *om.* B 1. 2. 3. 4. — [11] *om.* B 3. — [12] *om.* B 1. (ἐν ἁ. μοι) μοι ἐν ἁγνείᾳ A 2, B 4, ἐν γεῖ μοι B 3, μοι ἐν ἀγνοίᾳ B 2. — [13] ἀνδρὶ B 3. — [14] ἐπικατάρατε *add.* B 2. — [15] στῆναι A 2, B 1. 2. 3. 4. — [16] τούτου *add.* A 2. — [17] (μηδ' ὅλως) *om.* A 2, B 1. 2. 3. 4. — [18] (ἅμα - ἁγίας) *om.* B 1. 2. 3. 4, εὐθέως A 2. — [19] *om.* A 2. — [20] οὖν *add.* B 4. — [21] ἅπαντες *add.* A 2. — [22] *om.* A 2, B 1. 3.

πιστεύσομεν

*sed mox sanatur;* πιστεύσομεν τῷ Θεῷ σου.» Ἡ δὲ ἁγία[23] σπλαγχνισθεῖσα ἐπ' αὐτοῖς, ἐπεκαλέσατο τὸν Θεόν, καὶ ἀνέβλεψαν παραχρῆμα πάντες καὶ[24] ἐπίστευσαν ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν[25] ψυχαὶ πεντηκοντατρεῖς. Ὁ δὲ ἀκάθαρτος καὶ πονηρὸς[26] ἄρχων πάλιν μανεὶς[27] κατ' αὐτῶν ἔφη· «Αὕτη ἡ τύφλωσις ἐκ τῶν μεγίστων[28] θεῶν ἡμῖν ἐδόθη, ὡς καταδεξαμένων ἡμῶν ὑβρισθῆναι[29] αὐτούς· ἀλλ'[30] ὀξύνατε καλάμους καὶ ἐμβάλετε[31] εἰς τοὺς ὄνυχας αὐτῶν.» Ποιησάντων δὲ[32] τῶν ὑπηρετῶν τὸ κελευσθὲν αὐτοῖς, ἔκαμνον οἱ ἅγιοι σφοδρῶς καὶ ἐβόων λέγοντες[33]· «Γνῶθι, ὦ τύραννε, ὅτι[34] Χριστῷ τῷ υἱῷ τοῦ Θεοῦ[35] λατρεύομεν, τοὺς δὲ θεούς σου[36] καταπατοῦμεν[37].»

*manibus pedibusque praecisis,* **15.** Ὁ[1] ἄρχων λέγει τοῖς ὑπηρέταις· «Κόψατε τὰς χεῖρας αὐτῶν, ἵνα μὴ[2] βλασφημῶσιν[3].» Κοπτομένων δὲ τῶν χειρῶν αὐτῶν, ἐβόων οἱ ἅγιοι· «Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν, ὅτι τῷ σῷ πόθῳ τρωθέντες ἠκολουθήσαμέν σοι.» Ὁ δὲ κάκιστος καὶ δεινὸς ἄρχων[4] πάλιν[5] διετάξατο κοπῆναι αὐτῶν καὶ τοὺς πόδας[6]. Κοπτομένων δὲ[7] τῶν ποδῶν αὐτῶν[8], ἐβόων[9] οἱ ἅγιοι[10]· «Ἀνάθεμα τοῖς θεοῖς σου[11], τύραννε[12], εὐλογητὸς δὲ[12] ὑπάρχει ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς τοὺς αἰῶνας[13].» Τότε ὁ ἄρχων[14] ἔδωκεν κατ' αὐτῶν τὴν[15] ἀπόφασιν τοῦ ἀποτμηθῆναι αὐτούς[16]. Ἄραντες δὲ τοὺς ἁγίους μάρτυρας[17] Γαλακτίωνα καὶ Ἐπιστήμην[18] καὶ[19] ἐξαγαγόντες αὐτοὺς[20] ἔξω τῆς αὐλῆς τοῦ ἄρχοντος[21], ἀπεκεφάλισαν αὐτοὺς μηνὶ νοεμβρίῳ πέμπτῃ[22], ἐμοῦ τοῦ ταπεινοῦ Εὐτολμίου ὁρῶντος. Εἴασαν[23] δὲ τὰ τίμια καὶ ἅγια αὐτῶν λείψανα[24] ἐν ἐκείνῳ[25] τῷ[26] τόπῳ. Καὶ[27] λαβὼν αὐτὰ ἐγὼ[28] καὶ *martyres capite plectuntur.* πολλὰ δακρύσας ἐκήδευσα[29] εἰς[30] δόξαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ[31] ἡ δόξα καὶ τὸ κράτος[32] εἰς τοὺς[33] αἰῶνας τῶν[34] αἰώνων[34], ἀμήν.

*Passio prior*

[23] μάρτυς τοῦ Χριστοῦ Ἐπιστήμη *add.* A 2. — [24] (ἀνέβλεψεν - καὶ) παραχρῆμα ἀνέβλεψαν ἅπαντες τότε A 2. — [25] (σπλαγχνισθεῖσα - Χριστὸν) ἐπεκαλέσατο Κύριον (*om.* B 2) τὸν Θεὸν καὶ ἀνέβλεψαν (καὶ ἐπιβλέψαντες τὸ γεγονὼς *add.* B 2) ἐπίστευσαν B 1. 2. 3. 4. — [26] (ὁ - πονηρὸς) ὅμως ὁ B 1. 2. 3. 4. — [27] μανεὶς πάλιν B 1. — [28] *om.* A 2, B 1. 2. 3. 4. — [29] ὑβρίσαι B 3. — [30] ἀλλὰ B 1. 4. — [31] ἐμβάλατε B 4. — [32] οὖν B 1. 2. — [33] *om.* A 2. — [34] (γνῶθι - ὅτι) *om.* B 1. 2. 3. 4. — [35] (τῷ - Θεοῦ) *om.* B 1. 2. 3. 4. — [36] ἐξουθενοῦμεν καὶ *add.* A 2 — [37] καταπτύομεν B 4.

B

**15.** — [1] πάλιν οὖν ὁ πονηρὸς A 2. δὲ *add.* B 4. — [2] ἐνυβρίζοντες *add.* A 2. — [3] εἰς τοὺς Θεοὺς *add.* A 2. — [4] ἐκεῖνος *add.* A 2. — [5] πάλιν δὲ ὁ ἄρχων B 1. 2. 4. — [6] καὶ τούτου γενομένου καὶ *add.* A 2. — [7] *om.* A 2. — [8] αὐ αὐτῶν (*sic*) B 1. — [9] ἐβόουν B 4. — [10] (ἀνάστα - ἅγιοι) *om.* B 3. — [11] ὑμῶν B 1. 2. 3. 4. — [12] *om.* B 1. 2. 3. 4. — [13] τῶν αἰώνων *add.* A 2. — [14] (ὁ ἄρχ.) *om.* B 3. ἰδὼν τὸ στερρὸν αὐτῶν τῆς πίστεως *add.* A 2. — [15] *om.* B 3. — [16] αὐτῶν τὰς κεφαλάς A 2. B 3. — [17] *om.* B 1. 2. 4. — [18] (τοὺς - Ἐπ.) *om.* B 3. — [19] *om.* B 1. — [20] *om.* B 3. — [21] καὶ προσευξάμενοι ἐπὶ πολὺ *add.* A 2. — [22] (μηνὶ - πέμπτῃ) *om.* B 4. — [23] ἔασαν A 1, B 3, ἦσαν B 2. 4. — [24] (τίμια - λ.) λείψανα αὐτῶν κείμενα B 1. 3. 4; κείμεν a*add.* A 2. — [25] *om.* B 1. 3. 4, A 2. — [26] αὐτῷ *add.* A 2. — [27] ἐγὼ δὲ B 1. 3. 4. — [28] (αὐτὰ ἐγὼ) αὐτοὺς B 1. 3. 4. — [29] αὐτοὺς *add.* B 1. 2. 3. 4; μετὰ τῆς πρεπούσης αὐτὰ τιμῆς *add.* A 2. — [30] ἔπαινον καὶ *add.* A 2. — [31] αὐτῷ B 3. — [32] σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι *add.* B 3; νῦν καὶ ἀεὶ καὶ *add.* A 2. — [33] (ἡ - τοὺς) πρέπει τιμὴ καὶ προσκύνησις σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ (ἁγίῳ B 4) αὐτοῦ (*om.* B 4) πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς (τοὺς σύμπαντας καὶ ἀτελευτήτους *add.* B 1). B 1. 4. — [34] *om.* B 3.

E

# SS. GALACTIONIS ET EPISTEMES

## PASSIO ALTERA

*Edita ex manuscriptis codicibus* **C 1** = *Parisiensi 1522,* **C 2** = *Parisiensi 1020,* **C 3** = *Parisiensi 1481,* **C 4** = *Parisiensi 1487. Cf. supra p. 34.*

C

Βίος καὶ πολιτεία καὶ μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων[1] μαρτύρων Γαλακτίωνος καὶ Ἐπιστήμης.

*Sanctorum patria et parentes.* **1.** Τῆς πρὸς τῷ Λιβάνῳ ὄρει Φοινίκης πολλαὶ μὲν πόλεις καὶ ἕτεραι νοτιώτεραι καὶ προσάρκτιοι, ταύτης δὲ καὶ ἡ τῶν ἄλλων πασῶν διαφέρουσα καὶ τοῖς ἀρκτίοις κειμένη μέρεσιν, Ἔμεσα[1] ἣν ἐνεγκοῦσαν[2] ἔσχε καὶ θρεψαμένην ἀνήρ, ὄνομα[3] Κλειτοφῶν, γένος ἐπίσημος, πλοῦτον οὐδενὸς τῶν πολιτῶν δεύτερος, τὴν σύνεσιν πολλῷ τῶν ἄλλων ὀξύτερος. Τούτῳ τοίνυν συνῆπτο γυνὴ Λευκίππη[4] τοὔνομα, τἆλλα μὲν δεξιὰ τοὺς τρόπους καὶ ἀνδρὶ τοιούτῳ προσήκουσα, καὶ μηδὲ τῆς κατ' ὄψιν ὥρας τῶν ἐν τούτῳ ἄκρων ἐλλείπουσα, τοῦτο δὲ μόνον στείρωσιν δυστυχοῦσα, δι' ἣν πολλοῖς παρὰ τοῦ ἀνδρὸς ὀνείδεσι βαλλομένη ἀθυμίᾳ συνείχετο, κοὶ φροντίσιν ἐκόπτετο, καὶ παντοία ἦν λύσιν τῶν δεσμῶν τούτων ἐπιζητοῦσα.

F

*Magna saevit persecutio.* **2.** Ἀμφοτέρων οὖν δι' αἰσχύνης τὸ πρᾶγμα τιθεμένων τὸ μὴ παίδων ὀφθῆναι πατέρας μηδέ τινα ἕξειν ὃς τοῦ πλούτου τε κληρονόμος ἔσται, καὶ δι' οὗ τὸ γένος πάλιν αὐτοῖς σωθήσεται, ἐπεὶ συνέβαινε κατ' ἐκεῖνο καιροῦ καὶ τὰ τῆς εἰδωλολατρείας ἐπικρατεῖν, Σεκοῦνδον δέ[1] τινα τῆς πόλεως Ἐμέσης τὴν ἀρχὴν πεπιστεῦθαι, ἄνδρα ἕλληνα μὲν τὴν θρησκείαν τὴν δὲ γνώμην κομιδῇ βάρβαρον, ᾧ ἔργον ἦν ὡς οὐδὲν ἄλλο ἐπιμελὲς χριστιανοὺς ἅπαντας ἐκτρίψαι καὶ τὴν εὐσέβειαν, εἴ τις δύναμις, ῥίζαις αὐταῖς ἐξελεῖν· ἐπεὶ[2] οὕτως ἐν κινδύνῳ τὰ τῶν εὐσεβούντων ἦν, φυγῇ τὴν σωτηρίαν ἕκαστος ἐπορίζετο. Εἷς δέ τις τὴν κλῆσιν *Onuphrius monachus* Ὀνούφριος, τὸ σχῆμα μοναχός, τὸν τρόπον ἀγαθὸς καὶ φιλόθεος, τὸ μὲν παντάπασιν ἐκχωρῆσαι καὶ καταλιπεῖν ἐν καιρῷ τοιούτῳ καὶ ζάλῃ τὰς τῶν ἀσθενεστέρων κινδυνεύειν ψυχὰς οὐκ ἔγνω θεοφιλοῦς ἀνδρὸς εἶναι καὶ ἅπαξ ἑαυτὸν[3] τῷ χορῷ τῶν τοιούτων ἐγγράψαντος· οὐ μὴν ἀλλὰ καὶ τὸ παρρησιάσασθαι

Tit. — [1] καὶ ἐνδόξων *om.* C 4, τοῦ Χριστοῦ *add.* C 2. 4.
**1.** — [1] Ἔμεσσα C 1. — [2] ἐνεγκοῦσα C 2. — [3] ὀνόματι C 1. — [4] Γλευκίππη *ubique in Passione antiquiore.*
**2.** — [1] τε C 2. — [2] οὖν *add.* C 3. — [3] ἑαυτ[||] C 1. —